ἐγὼ δὲ τίνα ἀπόκρισιν δῶ πρὸς ταῦτα;
χεῖρα θήσω ἐπὶ στόματί μου·
5 ἅπαξ λελάληκα, ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω.
6 Ἔτι δὲ ὑπολαβὼν ὁ κύριος εἶπεν τῷ Ιωβ ἐκ τοῦ νέφους
7 Μή, ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου,
ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι·
8 μὴ ἀποποιοῦ μου τὸ κρίμα.
οἴει δέ με ἄλλως σοι κεχρηματικέναι ἢ ἵνα ἀναφανῇς δίκαιος;
9 ἦ βραχίων σοί ἐστιν κατὰ τοῦ κυρίου,
ἢ φωνῇ κατ᾽ αὐτὸν βροντᾷς;
10 ἀνάλαβε δὴ ὕψος καὶ δύναμιν,
δόξαν δὲ καὶ τιμὴν ἀμφίεσαι·
11 ἀπόστειλον δὲ ἀγγέλους ὀργῇ,
πᾶν δὲ ὑβριστὴν ταπείνωσον,
12 ὑπερήφανον δὲ σβέσον,
σῆψον δὲ ἀσεβεῖς παραχρῆμα,
13 κρύψον δὲ εἰς γῆν ἔξω ὁμοθυμαδόν,
τὰ δὲ πρόσωπα αὐτῶν ἀτιμίας ἔμπλησον·
14 ὁμολογήσω ἄρα ὅτι δύναται ἡ δεξιά σου σῶσαι. —
15 ἀλλὰ δὴ ἰδοὺ θηρία παρὰ σοί·
χόρτον ἴσα βουσὶν ἐσθίει.
16 ἰδοὺ δὴ ἰσχὺς αὐτοῦ ἐπ᾽ ὀσφύι,
ἡ δὲ δύναμις ἐπ᾽ ὀμφαλοῦ γαστρός·
17 ἔστησεν οὐρὰν ὡς κυπάρισσον,
τὰ δὲ νεῦρα αὐτοῦ συμπέπλεκται·
18 αἱ πλευραὶ αὐτοῦ πλευραὶ χάλκειαι,
ἡ δὲ ῥάχις αὐτοῦ σίδηρος χυτός.
19 τοῦτ᾽ ἔστιν ἀρχὴ πλάσματος κυρίου,

$4^3$ εγω ad $4^2$ trahunt AV† | δε τινα / αποκρ.] tr. AV† | δω] δωσω B || 5 ελαλησα AV† || 6 δε > S† | εκ] δια A†: ex 38 1 || $7^2$ αποκριναι B†: cf. 38 3 || $8^1$ μη αποπ.] η αποποιη Sc mu. | $8^2$ οιει δε] μηδε οιου AV† | η] αλλ AV† | αναφ. δικ.] tr. AV† || $9^1$ η] ει AV† | του κυριου] κυριον AScV†: = 𝔐 | $9^2$ φωνη ... βροντας] φωνη βροντης ... βροντα ισα AV†: βροντα ισα ex βροντας + (10) α | κατ αυτου B† || $10^1$ δη] δε A | υψος και] εις υψος AV† | $10^2$ δε > AV† | αμφιασαι SA pl.: cf. Thack. § 6, 6 || $11^1$ οργη] εν οργη σου AV† | $11^2$ παν (cf. Iud. 7 4 B)] παντα A pl. || $13^1$ δε] + αυτους AScV† | εξω > B La† || 14 αρα > BS† | η δεξ. / σου] tr. AV† || $15^1$ δη > AV† | ιδου] + δη (sic) B† | θηρ. / παρα σοι] tr. AV† | $15^2$ χορτ. / ισα βου.] tr. AV† | εσθιουσιν B† || $16^1$ ισχ.] pr. η SA | οσφυι (AV† -υος)] + αυτου AV† (in *O* sub ※) | $16^2$ δυν. B†] + αυτου rel. (in *O* sub ※) | fin.] + αυτου AV† || $17^1$ ουραν] + αυτου AV† | ως] ωσπερ AV† | $17^2$ συμπ.] pr. ωσπερ σχοινια AV† || $18^1$ πλευραι χαλκειαι] ως (V† ωσπερ) πετραι χαλκαι (cf. 6 12) AV† | $18^2$ σιδ.] pr. ως A† | σιδ. χυτος] τυχος (= τυκος) σιδηριος Gra.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/343 UNIVERSITÄT LEIPZIG